πάλιν οἴκαδε σωτηρίας· τὸ δὲ δεύτερον εἰρήνης γενομένης ἐκάλεις με οὐ
κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες, Δίωνα δ' εἰς αὖθις
ἔφησθα μεταπέμψασθαι. διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ Δίωνι τότ'
B ἀπηχθόμην· ᾤετο γὰρ εἶναι βέλτιον ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ
μετὰ ταῦτα ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ,
τῶν δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν ὡς, ἂν ἀφίκωμαι, τὰ Δίωνός
μοι γενήσοιτο πράγματα πάντα κατὰ νοῦν τὸν ἐμόν, μὴ ἀφικομένου δὲ
τἀναντία. αἰσχύνομαι δὴ λέγειν ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ καὶ παρ' ἄλ-
λων ἦλθον διὰ σὲ ἐξ Ἰταλίας καὶ Σικελίας, καὶ παρ' ὅσους τῶν ἐμῶν οἰκείων
C καὶ τῶν γνωρίμων, καὶ πᾶσαι διακελευόμεναί μοι ἰέναι καὶ δεόμεναι σοὶ
πάντως ἐμὲ πείθεσθαι. ἐδόκει δὴ πᾶσιν, ἀρξαμένοις ἀπὸ Δίωνος, δεῖν ἐμὲ
πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι. καίτοι τήν θ' ἡλικίαν αὐτοῖς προυτεινό-
μην καὶ περὶ σοῦ διισχυριζόμην ὡς οὐχ οἷός τ' ἔσοιο ἀνταρκέσαι τοῖς
διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν· ἑώρων γὰρ καὶ
D τότε καὶ νῦν ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ
τῶν μονάρχων σχεδόν, ὅσωπερ ἂν μείζους ὦσιν, τοσούτῳ πλείους καὶ
μείζους τοὺς διαβάλλοντας καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμι-
λοῦντας τρεφούσας, οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς
ἄλλης ἐξουσίας δύναμις. ὅμως δ' οὖν πάντα ταῦτα χαίρειν ἐάσας ἦλθον,
διανοηθεὶς ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ αἰτιᾶσθαι ὡς διὰ τὴν ἐμὴν
E ῥαθυμίαν τὰ σφέτερα πάντα ἐξὸν μὴ ἀπολέσθαι διώλετο· ἐλθὼν δέ —
οἶσθα γὰρ δὴ σὺ πάντα τἀντεῦθεν ἤδη γενόμενα — ἐγὼ μὲν ἠξίουν δήπου
κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν κατάγειν Δίωνα οἰκειωσά-
μενον, φράζων τὴν οἰκειότητα, ἣν εἰ ἐμοὶ τότε ἐπείθου, τάχ' ἂν βέλτιον
τῶν νῦν γεγονότων ἔσχεν καὶ σοὶ καὶ Συρακούσαις καὶ τοῖς ἄλλοις Ἕλλη-
σιν, ὡς ἡ ἐμὴ δόξα μαντεύεται. ἔπειτα τὰ Δίωνος τοὺς οἰκείους ἔχειν
318 ἠξίουν καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, οὓς οἶσθα σύ· πρὸς δὲ
τούτοις ᾤμην δεῖν τὰ κατ' ἐνιαυτὸν ἕκαστον εἰωθότα αὐτῷ κομίζεσθαι καὶ
μᾶλλον ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενομένου πέμπεσθαι. τούτων οὐδενὸς